www.e-rara.ch

# Thēsauros. Keraz amaldeiaz, kai kēpoi adōnidos

Bolzanio, Urbano

Venetiis, [Aug. 1496]

Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-152037

[N]

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

σημαίνει δὲ ὅτι καθὰ τὸ μυχοίτατος ἐξ ἀποκοπῆς τοῦ ο εἰς α μυχαίτατος γίνεται ἀττικῶς. οὕτως ἐκ τοῦ πρωῒ πρώϊος, οἷον τὴν ἐνέδυσα πρώϊον· παράγεται δὲ πρωϊαίτερος. οὕτω δὲ καὶ ἐκ τοῦ ἔργου ὁ προυργιαίτερος πλεονάσαντος αὐτόθι τοῦ ι. ὡς ἐν τῷ κάμινος καμιναῖος, καμινιαῖος. καὶ μνᾶ μναιαῖος λίθος κατὰ πλεονασμόν, μναιαῖος παρ᾽ Ἀριστοτέλει. ἔστι δὲ καὶ φιλαίτερος καθ᾽ ὁμοίαν ἀναλογίαν· πρὸς ἣν ἐφάνη καὶ ἐν ἄλλοις παρῆχθαι καὶ ὁ μεσαιπόλιος ἢ ὁ πυλαιμένης· ἢ τὸ τιθαιβώσσειν. καὶ ὅσα τοιαῦτα. ὡς δὲ κατὰ τὰ ἄνω κείμενα, λέγεται ὁ μεσαίτερος. καὶ ὅτι καὶ αὐτὸ, ἢ τὰ κατ᾽ αὐτὸ πρὸς ὁμοιότητά ἐστι τοῦ πέρας περαίτερος, γῆρας γηραίτερος. καὶ τῶν ὁμοίων οὐκ ἄδηλόν ἐστιν.

Μώνυχας μονώνυχας ἀπὸ τοῦ μόνος καὶ τοῦ ὄνυχας ἀποκοπῇ τοῦ ν μοώνυχας, καὶ κράσει, μώνυχας.

## ἈΡΧῊ ΤΟΥ͂ · Ν̄ · ΣΤΟΙΧΕΊΟΥ·

ΑΙ·ΝΑῚ μὰ τόδε σκῆπτρον, πλεονασμῷ τοῦ μὰ ἤτοι ἀπομωτικὸν μόριον κατὰ ἀττικὸν ἔθος. ἤρκει γὰρ εἰπεῖν μὰ τοῦτο σκῆπτρον. λέγεται δὲ καὶ ἀντὶ τοῦ ὅμως. οἷον ναὶ μὴν ἀκήδεστον γ᾽ εἰκ τόνδε λιπόντες.

Ναιετάωσιν ἀπὸ τοῦ ναίω ναιέτης ναιετῶ. ὡς κυνηγῶ κυνηγέτης κυνηγετῶ. καὶ ἔδει μὲν ναιετάουσιν. ὡς κοάουσιν. ἀλλ᾽ ἔστιν ὅμοιον τῷ ἱδροῦσαι, ἱδρῶσαι. καὶ βοῦς κῶν. δωρικῇ διαλέκτῳ ὥσπερ ἡ μοῦσα, μῶσα. οὕτως ἡ ναιετάουσι ναιετάωσι. λέγεται δὲ ναιέτης ὁ μέτοικος.

Ναῦφιν ὥσπερ ἀπὸ τοῦ τανάοποδας γίνεται ταναύποδας κράσει τοῦ αο εἰς τὴν αυ δίφθογγον. σημαίνει δὲ τοὺς σύροντας τοὺς πόδας. οὕτως καὶ ἀπὸ τοῦ ναῦς ναὸς γίνεται ναόφιν. καὶ κράσει, ναῦφιν. οἷον ναῦφιν ἀμυνόμενοι. ἀντὶ ἀπὸ τῶν

νηῶν ἀποσοβοῦντες.

Νάσθη, νάω τὸ θέμα· ἐξ οὗ καὶ ναέτης καὶ νάσσασθαι· τὸ οἰκῆσαι. ὡς καὶ κλαίω κλάω· οὕτω ναίω, νάω.

Ναιετάων· τὸ προϋποκείμενον ἔχει θέμα, οὐ μαρτυροῦν τὸ ναίω, ἀλλὰ τὸ νεῶ ναιέσω· ἐξ οὗ καθὰ αἰνῶ αἰνέσω· αἰνέτης· αἰνετός· οὕτω καὶ ναιῶ ναιέσω ναιέτης· ὁ ἄλλως ναέτης· ἀφ᾽ οὗ ῥῆμα τὸ ναιετῶ. ὁ δὲ εἰρημένος ναέτης ὑποβάλλει νοεῖν, ὅτι, ὥσπερ κλαίω, κλάω καίω· κάω· οὕτω δύναται καὶ ναίω νάω ἀφ᾽ οὗ ὁ ναέτης. ἴσως δὲ ἀρχηστίαν ἐκύρωσε τοῦ νάω τὸ οἰκῶ, ἡ κοίνωσις τοῦ νάω τὸ ῥέω. εἴποι δ᾽ ἄν τις τοῦτον κατ᾽ ἀρχὴν μονοσύλλαβον ῥῆμα τὸ νῶ νήσω, τὸ σωρεύω· ἐξ οὗ ὅλα τὰ τοιαῦτα· καὶ γὰρ οἱ νάοντές που σεσωρευμένοι εἰσί· καὶ πηγῆς δὲ ὕδωρ ἄθρουν, σωρευθέν, νᾶμα· οὕτω καὶ ἀπόρρυτον. ἢ ἄλλως· στατὸν μὲν ἀένναον δέ· ἐκ τούτων δὲ πολλὰ παρῆκται καὶ διάφορα· ὁ ναὸς ἐν ᾧ πολλοὶ σεσωρεύονται· ἡ ναῦς ἤτε, νηῦς ἢν σωρὸς ἐγκείμενος μαρτυρεῖ· αἰνηΐδες καὶ ἕτερα.

Νάσσα ἀντὶ τοῦ κατῴκισα· οὐ γὰρ ναίω μόνον ἀλλὰ καὶ νάω, ὅθεν καὶ ναέτης ὁ ἐγκάτοικος.

Νέηαι, νέω τὸ πορεύομαι· νέομαι· τὸ ὑποτακτικὸν παθητικόν, ἐὰν νέωμαι· ἐὰν νέηται· καὶ ἰωνικῶς· ἐὰν νέηαι.

Νέηλυς ἀπὸ τοῦ νέον τὸ νεωστὶ· καὶ τοῦ ἤλυσιν ἡ ἐπέλυσις· ὁ νεωστὶ ἐλθών, νεήλυδος· ὁ κανών· τὰ εἰς υς σύνθετα, εἰ μὲν ἀπὸ ἁπλῶν εἰς υς ληγόντων εἰσὶ συντεθειμένα, τὴν τῶν ἁπλῶν φυλάττουσι κλίσιν, οἷον βραχὺς βραχέος· τρίβραχυς τριβραχέος· εἰ δὲ ἀπὸ ῥήματος εἰσὶ συντεθειμένα, διὰ τοῦ δος κλίνεται· ἔπηλυς ἐπήλυδος νέηλυς νεήλυδος· ταῦτα γὰρ οὐκ ἀπὸ ἁπλῶν εἰς υς ληγόντων εἰσὶ συντεθειμένα, ἀλλὰ ἀπὸ ῥήματος τοῦ ἐλεύθω.

Νεικείῃσι κακολογήσει ἐνεστῶτος καὶ ὑποτακτικοῦ τρίτου προσώπου νεικῶ νεικείω· ἐὰν νεικείω· νεικείῃς· νεικείῃ· προσχηματισμῷ τῆς σι νεικείῃσι· ὡς λάβῃσι.

Νεμέσσει· μέμφεται, μεμφθῇ· ἀπὸ τοῦ νεμῶ· νέμεσις, νεμέσει· καὶ τροπῇ τοῦ ε εἰς σ, νεμέσσει· ἢ συγκοπῇ καὶ πλεονασμῷ τοῦ σ. οἷον οὔτοι ἐγὼ ζώων τόσον χόλῳ οὐδὲ νεμέσσει.

Νενέαται, ὅτε νῶ σημαῖνον τὸ σωρεύω· εἰ δὲ τὸ οἰκῶ ἄδηλον, ὁ παρακείμενος. νένηκα, ὁ παθητικὸς, νένημαι· τὸ γ΄ τῶν πληθυντικῶν, νένηνται, καὶ ἰακῶς, νενέαται· ἰωνικῇ ἀφαιρέσει τοῦ ἀναδιπλασιασμοῦ, νέαται.

Νένοται ἢ ἀπὸ τοῦ νενόηται, συγκοπῇ· ἢ ἀπὸ τοῦ νένωται, καὶ συστολῇ· ἐπειδὴ ὅτε ῥῆμα ἐστὶ τρίτης συζυγίας. καὶ Σοφοκλῆς νένωται, καὶ Ἀνακρέων, ὁ δ᾽ ὑψηλὰ μενώμενος. καὶ ἄλλο ἄλλα λέξαντες νένωνται. καὶ ὡς χρυσόονται χρυσοῦνται· νόονται νοῦνται.

Νεοχμοῦντες μετακοσμοῦντες· καὶ νεοχμὸς ἄπονος· ἄκοπος· νεωστὶ εἰργασμένος.

Νέκταρ, ἐτυμολογεῖται μὲν ἀπὸ τοῦ κτῶ· τὸ κτῶμαι· καὶ τοῦ νε στερητικοῦ· οἱονεὶ τὸ ἄκτητον, ὃ οὐδενὸς θνητοῦ γίνεται κτέαρ ἤτοι κτῆμα.

Νῶμαι· ἤγουν νέομαι ὑπονοστῶ· παλιννοστῶ.

Νημερτές· ἐπίρρημα ἀπὸ τοῦ νημερτὴς ὄνομα. τοῦτο παρὰ τὸ ἁμαρτῶ, τὸ ἐπιτυγχάνω μετὰ τοῦ νη στερητικοῦ νημερτὴς ὁ μὴ ἀποτυγχάνων.

Νηγάτεον δὲ ἢ τὸ νεωστὶ γενόμενον, οἱονεὶ νεήγατον· ἢ παρὰ τὸ νη στερητικὸν· καὶ τὸ γατὸν τὸ γεγενημένον· ἵνα δηλοῖ τὸ ἀγέννητον, καὶ ὡς εἰπεῖν ἀχειρότευκτον· ὥσπερ γὰρ φασὶ ἀπὸ τοῦ τείνω, τατὸς· οὕτω καὶ ἀπὸ τοῦ γείνω, γατός· καὶ νηγάτεος.

Νῆμα γίνεται παρὰ τὸ νήθω· ἢ μᾶλλον παρὰ τὸ νῶ· ἐξ οὗ καὶ τὸ νήθω παρῆκται· ὡς ἐκ τοῦ κνῶ, τὸ κνήθω· καὶ ἐκ τοῦ μῶ, μήθω· ἤτοι ζητῶ· ὅθεν καὶ προμηθεύς. χρῆσις δὲ τοῦ νῶ παρὰ ἡσιόδῳ.

Νοσφιζοίμεθα παρὰ τὸ νοσφίζω· τοῦτο ἐκ τοῦ νόσφι· τὸ δὲ ἐκ τοῦ νόσος νοσόσφι· εἶτα ἐν συγκοπῇ, νόσφι.

Νουνέχοντας ὑφ᾽ ἓν ἀναγνωστέον· ἀπὸ τοῦ νοῦν ἔχω, σύνθετον ῥῆμα νουνέχω· καὶ νουνέχοντας. πολλάκις γὰρ ἀπὸ β΄ διεστώτων

μερῶν τοῦ

μερῶν τοῦ λόγου γίνεται ἑνότης. οἷον ἀρειοπάγος, ἀρειοπαγί-
της. νεάπολις, νεαπολίτης.

Νοῦς παρὰ τὸ νέεσθαι, τὸ πορεύεσθαι· ὃς πάντοτε κινούμενός ἐστιν ἐν ἡμῖν.

Νοῦσος ἰωνικὴν ἐπένθεσιν ἔχει τοῦ υ. ὡς γὰρ ὀδὸς, οὐδὸς, καὶ βότας, βού-
τας. παρ' εὐριπίδῃ. καὶ κόρος, κοῦρος, ὀνέος. καὶ ὀλομένη, οὐλομένη. καὶ
ὄρος, οὖρος, πλεονασμός. καὶ γόνος, γουνὸς ὁ γόνιμος τόπος.
οὕτω καὶ νόσος, νοῦσος κατὰ τοὺς ἴωνας, μηκύνοντας τὸ ο τῇ προσ-
λήψει τοῦ υ. οὕτω καὶ ἀνάπαλιν οἱ βοιωτοὶ ποιοῦσι κατὰ τὴν ἡ-
ρακλείδου παράδοσιν προστιθέντες αὐτοὶ τῷ υ διχρόνῳ, τὸ μι-
κρόν. καὶ βραχυνομένου μέν φησι, βραχύνοντες. μηκυνομένου
δὲ μηκύνοντες, τὸ ὕλη, οὔλη λέγοντες. καὶ τὸ ὕδες, οὔδες.

Νόσος γίνεται πλεονάσαντος τοῦ σ. πρὸς διαστολὴν τοῦ νότος.
ὁ ἄνεμος.

Νῶ ἅπαξ ἐχρήσατο ταύτῃ τῇ λέξει ὁ ποιητής. οἷον πρὶν γ' ἔτι νῶ
τῷ δ' ἀνδρί. ὁ νοῦς, πρὶν ἡμᾶς αὐτοὺς τούτῳ τῷ ἀνδρί. ὅτι τῷ νῶ καὶ
σφῶ σὺν τῷ ι τινὲς γράφουσι, λέγοντες ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ γε-
γονέναι κατὰ συναίρεσιν τοῦ ω καὶ ι εἰς τὸ ῳ δίφθογγον. ἀλλ' ἡ
παράδοσις οὐκ οἶδε τὸ ι. ἕτεροι δὲ λέγουσι νῶϊ καὶ σφῶϊ κατὰ
ἀποκοπὴν γεγονέναι νῶ καὶ σφῶ χωρὶς τοῦ ι. ἀλλ' εἰ ἀπὸ τοῦ
σφῶϊ καὶ νῶϊ γεγόνασιν, ὤφειλεν ἔχειν τὴν περισπωμένην τάσιν.
ἐπειδὴ τὸ νῶϊ καὶ σφῶϊ προπερισπᾶται. ὥσπερ τὸ κυκεῶνα με-
τὰ τὸ ἀποκοπῆναι ἐφύλαξεν τὴν περισπωμένην τάσιν. ἄλ-
λοι δὲ λέγουσιν ὅτι τὸ νῶ γεγονέναι ἀπὸ τοῦ νῶϊ. ὅτι τὸ σφῶ ἀ-
πὸ τοῦ σφῶϊ. ἀλλὰ καὶ τούτων ἕτερον θέμα ἐστὶ, κἀκείνων ἕτε-
ρα θέματα. λέγει δὲ ὁ τεχνικὸς ὅτι ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ δυϊκῶν ἀν-
τωνυμιῶν, γεγόνασι νῶ καὶ σφῶ κατὰ ἀποκοπὴν τοῦ ι, καὶ ὀξύνεται
ἀναλόγως. καὶ γὰρ τὸ ἐν τοῖς ποιητικοῖς ω ἀπέστραπται τοῦ περισπωμέ-
νου, οἷον τὼ σοφὼ τὼ καλώ. οὕτω δὲ ἦν ....... καὶ νῶ καὶ σφῶ ὀξυτονοῦνται. διὰ τί οὖν
νῶϊ καὶ σφῶϊ δυϊκαὶ ἀντωνυμίαι ἀποκόπτονται, καὶ νῶ καὶ σφῶ γίνεται·
ὅτι οὐδέποτε ἐν τοῖς ποιητικοῖς τὸ ω ....... πρὸ τοῦ ι προπε-

περισπώμενον· ἀλλ' ἢ προπαροξύτονον, ὡς τὸ μίνωϊ· καὶ ἥρωϊ, ἢ ὀξύτονον· ὡς ἐπὶ τοῦ ξωΐ καὶ δμωΐ· ἐπεὶ οὖν αὗται αἱ νῶϊ καὶ σφῶϊ ἀντωνυμίαι εὑρέθησαν προπερισπώμεναι, διὰ τοῦτο πάσχουσιν ἀποκοπήν, ἵνα διὰ τῆς ἀποκοπῆς ἀξαμαυρωθῇ ἡ παράλογος τάσις· πρόσκειται ἐν τοῖς κτητικοῖς, ἐπειδὴ τὸ πρωῒ καὶ πρώϊ λέγουσιν οἱ ποιηταί· τὸ ἱδρῶτι οὐκ ἀντίκειται ἡμῖν, ἐπεὶ οὐκ ἔχει τὸ ω πρὸ τοῦ ι, ἀλλὰ πρὸ τοῦ τ.

Νώμησαν ἀπὸ τοῦ ὦμος ἡ μεταφορά· ἢ παρὰ τὸ νομῶ νώμησαν· τουτέστι διεμέρισαν, διέδωκαν· νωμῶ, νωμήσω· γράφεται δὲ τὸ νω μέγα, τὰ γὰρ εἰς ω λήγοντα ῥήματα δισύλλαβα κατὰ τροπὴν τοῦ ε εἰς ω ἐκ βαρυτόνων εἰς περισπώμενα μετηγμένα διὰ τοῦ ω μεγάλου γράφεται· καὶ εἰ μὲν διὰ καθαροῦ τοῦ ω ἐκφέρεται βαρύτονα· ζέω, ζώω· χέω· χώω· ῥέω ῥώω· πλέω, πλώω· ξέω, ξώω· εἰ δὲ μετὰ συμφώνου περισπῶνται, οἷον, στρέφω, στρωφῶ· νέμω, νωμῶ· γίνεται δὲ ἐν τούτοις τροπῇ τοῦ ε εἰς ο· ἢ ἐκτάσει τοῦ ο εἰς ω· οὐ πάντα δὲ τὰ περισπώμενα μεγαλογραφεῖται· ἔστι γὰρ καὶ δονῶ, καὶ πολῶ, ποθῶ, καὶ ἕτερα· ἀλλὰ τὰ τῆς πρώτης συζυγίας περισπωμένων, μικρογραφεῖται· τὰ δὲ τῆς δευτέρας δὲ διὰ τοῦ ω μεγάλου γράφεται.

Νώνυμος, ἄνευ ὕμνου, ἢ εὐφημίας, παρὰ τὸ νω στερητικόν, καὶ τὸ ὕμνος· ἢ τὸ ὄνομα νώνομος· καὶ συγκοπῇ καὶ τροπῇ τοῦ ο εἰς υ, νώνυμος, ὡς κοπρώνυμος, μεγαλώνυμος.

Νώροπα λαμπρόν, παρὰ τὸ νω στερητικὸν καὶ τὸ ὄψ γέγονε νώροψ, ὁ μὴ ἐῶν εἰς αὐτὸν ἀφορᾶν τὴν ὄψιν διὰ τὸ ἄγαν λαμπρόν, ἀμαυροῖ γὰρ τὴν ὄψιν τὸ πάνυ λαμπρόν.

Νώσατο, ἐπέγνω· νοήσατο καὶ κράσει τοῦ ο καὶ η εἰς ω μέγα, νώσατο.

Νώσω, ἰστέον ὅτι ὥσπερ ἐν τῷ νοῶ, νοήσω· καὶ κράσει νώσω, καὶ πλεονασμῷ τοῦ κ, νώσκω· καὶ κατ' ἀρχὰς προστίθεται τὸ γ, καὶ γίνεται γνώσκω· ἢ κατὰ ἀναδιπλασιασμόν, γιγνώσκω· κατὰ δὲ ὅμοιον πλεονασμόν, ἢ τὸ γίνεται, γίγνεται ποιεῖται· καὶ ἡ σύννοια, ξύγνοια

ὃ δηλοῖ τὴν συγγνώμην· καὶ ὁ δοῦπος, γδοῦπος· ὅθεν καὶ ῥῆμα γδουπέω, γδουπήσω· ἐν τοῖς ἑξῆς. ἔτι δὲ καὶ ἐρίγδουπος· ὥσπερ καὶ γνόφος παρὰ τὸ νέφω. οὕτω καὶ τὸ μὴ νοεῖν, ἀγνοεῖν. αὐτὸ δὲ πλεονασμῷ τοῦ ι, ἀγνοιεῖν λέγεται πρὸς εὐχρηστίαν μέτρου. οἷον, οὐδέ μιν ἥρως ἠγνοίησεν.

Νῶϊν σφῶϊν. σὺν τῷ ι, ἀπὸ τοῦ νώϊν καὶ σφώϊν γίνεται κατὰ συναίρεσιν τοῦ ω καὶ ι εἰς τὴν ῳ δίφθογγον. ἄγνωστε, καὶ πᾶσα δυϊκὴ εὐθεῖα παντὸς ἀριθμοῦ τὸ ι θέλει ἔχειν. δεῖ δὲ γινώσκειν ὅτι Ἀρίσταρχος τὸ οὐ γὰρ σφῶν ἀπόλωλε τοκήων χωρὶς τοῦ ι ἀξιοῖ γράφεσθαι, λέγων ὅτι γ' προσώπου ἐστὶ πληθυντικοῦ ἤγουν ὑμῶν σφῶν, ἀντὶ δευτέρου δυϊκοῦ, ἀντὶ γὰρ τοῦ σφῶϊν κεῖται. ἀλλ' ἔστιν εἰπεῖν ὅτι χωρὶς τοῦ ι γράφεται. ἐπειδὴ οὐδέποτε τῇ γενικῇ καὶ δοτικῇ τῶν δυϊκῶν κέχρηται ὁ ποιητὴς εἰ μὴ κατὰ διάλυσιν. οἷον, τοῖν, τοῖιν. ὤμοιν, ὤμοιιν. ἀλλήλοιν ἀλλήλοιιν. εἰ οὖν τὸ ι εἶχεν, ἔμελλε κατὰ διάλυσιν εἶναι.

Νὼ καὶ σφώ, ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ γεγόνασι κατὰ ἀποβολὴν τοῦ ι, καὶ ὅλως οὐ περισπῶνται διὰ τὴν ἀποκοπὴν κατὰ τὸ ἱδρῶτα ἱδρῶ. δῶμα, δῶ. ἀλλ' ὀξύνονται ἀναλόγως ὡς δυϊκά. καὶ ὅτι ἀναγκαίως ἀπεκόπη τὸ νὼ καὶ τὸ σφὼ ἐκ τοῦ νῶϊ καὶ τοῦ σφῶϊ, οὐδέποτε γάρ φασι τὸ ω κείμενον πρὸ καθαρεύοντος τοῦ ι, περισπᾶται. ἀλλ' ἢ ὀξύνεται, ὡς ἐν τῷ πρωΐ καὶ δμωΐ. ἢ προπαροξύνεται, ὡς ἐν τῷ ἥρωϊ. Μίνωϊ. διὸ καὶ ἐν τῷ νῶϊν καὶ σφῶϊν. ἐπειδὴ καὶ τὸ ω προκείμενον τοῦ ι περισπᾶται, ἐπενοήθη συναίρεσις τοῦ νῶν καὶ σφῶν πρὸς ἀποφυγὴν παραλόγου. οἷον, οὐ γὰρ σφῶν γενεὸς ἀπόλωλε τοκήων, τὸ ἐν ὀδυσσείᾳ κείμενον.

Νωτοπλῆγα οἱ παλαιοὶ ῥήτορες τὸν μαστιγίαν φασί.

Νώροπα δὲ λέγει τὸν χαλκὸν ἤγουν τὸν λαμπρὸν καὶ στίλβοντα τοῦ ὁρᾶν οἷα δυσωπουμένης τῆς ὄψεως πρὸς τὴν λαμπρότητα. ἔστι γὰρ στερητικὸν μὲν τὸ νω. ὁρᾶν δὲ τὸ βλέπειν, ἐξ οὗ ὁ νώροψ. ἢ ἐκ τοῦ νοῦ καὶ ὢψ ὡς προείρηται.